Συγγενοῦ.] ξυνέλθε, ξυλλαβοῦ μοι. θέσθε δὲ, τὸ πλῆρες, δός δέ μοι θέσθαι, καὶ ἀνιστάναι τρόπαιον τῶν γυναικῶν, τῶν ἐν τῇ πόλει, ἤγουν ἀκροπόλει οὐσῶν, ἕνεκα τοῦ παρεστῶτος, καὶ παρόντος θράσους. A

CHR. Ἑκατι καὶ ζῆ.] In Veneta editione legitur ἔτι non ἕκατι. Sic autem dixit Plautus, Si viuit ignis, tu exstingue extempulò. Τῷ μὲν ξύλῳ] In eadem editione melius τὼ μὲν ξύλω θώμεσθα πρῶτον αὐτοῦ. Sed vel cum stipite vult fumum compescere, vel vterque stipitem suum deponere, quod magis arridet quia postea habes θώμεσθα τὸ φορτίον. B Τῆς ἀμπέλου δ' ἐς χύτραν.] Lege ἐς τὴν χύτραν Carminis gratia, vt & habes in editione Veneta. Est autem φανὸς ἀμπέλου, fax & lampas ex palmitibus viteis, vt solebant olim faces componere. Sic Cicero dixit, Malleolos ad incendendam vrbem facésque comparare, sumpsitque ex Thucydide vt puto qui lib. 7. ait ὁλκάδα παλαιὰν κληματίδων καὶ δᾳδὸς γεμίσαντες. sunt enim κληματίδες malleoli & fasces ex palmite veteri. Est etiã ἄμπελος machina obsidionalis quæ etiam dicta vinea. Sed hic nihil ad rem. Κριηδὸν ἐμπέσωμεν.] Legendum proculdubiò κριηδὸν, id est, arietis more quæ machina est etiam obsidionalis. Κἂν μὴ καλούντων.] Vel lege καλόντων vt funes intelligas, qui κάλως dicuntur, vel intellige vocantes senes. Mox vbi habes καὶ τῷ καπιέζειν, lege καὶ τῷ καπνῷ πιέζειν. Nam & sic sensus rectus & integer versus. Πρῶτον ἐμοὶ προσοίσεις] Vt constet versus lege ἐμοὶ πρῶτον vel πράτην ἐμοί.

## ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

Ἡμίχορος Γυν.

C

Χο. Γυν. Ὡς πυρὸς καομένου σπευστέον ἐστὶ θᾶττον
Λιγνὺν δοκῶ μοι καθορᾶν καὶ καπνὸν ὦ γυναῖκες.
Ημ. Γυν. Πέτου πέτου Νικοδίκη.
Πρὶν ἐμπεπρῆσθαι Καλύκην
D
Τε, καὶ Κριτύλλαν περιφυσήτω
Ὑπό τε νόμων ἀργαλέων,
Ὑπό τε γερόντων ὀλέθρων.
Ημ. Ἀλλὰ φοβοῦμαι τόδε. μῶν ὑστερόπους βοηθῶ;
Νῦν δὴ γὰρ ἐμπλησαμένη τὴν οἰκίαν κνεφαία
Μόγις ἀπὸ κρήνης ὑπ' ὄχλου καὶ θορύβου,
E
Καὶ πατάγου χυτρείου,
Δούλησιν ὠστιζομένη
Στιγματίαις θ' ἁρπαλέως

## CHORVS MVLIERVM.

Semichorus mul.

*CH. M.* O *Cyus nunc properandum, ruit ignis ardens*
*O fœminæ, fuliginem & fumum puto intueri.*
*SEM. Vola vola* Nicodica
*Prius quàm vratur Calyce.*
*Simul Critulla, atque eas absumunt*
*Malitia legum aspera, tum*
*Misera senum pernicies.*
SEM. *Quàm metuo hoc! an venio huc serior adiuuatrix,*
*Nam vix aquale è fonte vas impleueram in tenebris*
*(Adeò erat ingens tumultus, turbaq́; frictásque sonus per ollas)*
*Quum pressam iniquis spacijs*
*Stigmatiæ me & famulæ*

Bisetvs. Ὡς πυρὸς] Ὁ τῶν Ἀττικῶν γυναικῶν χορὸς τὸν θόρυβον τῶν ἀνδρῶν τὴν ἀκρόπολιν πολιορκούντων αἰσθόμενος, καὶ τοῦ ἐμπρησμοῦ τὸν καπνὸν ἰδὼν, μετὰ πάσης προθυμίας ταῖς ἤδη πολιορκουμέναις καὶ κινδυνευούσαις κατὰ κράτος ἁλῶναι, βοηθεῖν παρασκευάζεται. ἐν ὑδρείαις δὲ φέρει ὕδωρ ὅπως τὸ πῦρ καιόμενον ἀποσβέσῃ. Περιφυσήτω] θηλυκὸν ἐστὶ τοῦ περιφύσητος, τουτέστι ὁ πανταχόθεν φυσώμενος, καὶ πνεύμασι πιεζόμενος. ὁ νοῦς δέ. F πρὶν τὴν Καλύκην, καὶ τὴν Κριτύλλαν παντελῶς ἐμπρησθῆναι, ἃς ἤδη οἱ γέροντες περιεφύσησαν πανταχόθεν τῷ τοῦ πυρὸς καπνῷ, καὶ σχεδὸν ἀπέπνιξαν. νῦν δὲ τὸν καπνὸν νοεῖ, ὃν οἱ γέροντες τὸ πῦρ ἅπτοντες, καὶ φυσῶντες πρὸς τὰς γυναῖκας ἔπεμπον ἵνα τῷ καπνῷ πιεσθείσας, τὴν ἀκρόπολιν καταλιπεῖν ἀναγκάζοιεν. νόμους δὲ ἀργαλέους λέγει τοὺς τῆς πόλεως νόμους, ὧν οἱ γέροντες, ὡς ἄρχοντες, ἦσαν φύλακες, καὶ ὑπηρέται. καὶ δι' οὓς τῇ πόλει βοηθεῖν, καὶ αὐτὴν σώζειν αὐτοὺς ἔδει ἢ καὶ νόμους γενικῶς καλεῖ τὸ ἔθος, τὸν τρόπον, ᾧ τότε κατὰ τῶν γυναικῶν ἐχρῶντο. G ἀργαλέων δὲ, χαλεπῶν, δεινῶν, λυπηρῶν ταῖς πολιορκουμέναις. ὀλέθρων δὲ, τῶν ὀλεθρίων, ἢ τῶν ὀλέθρου ἀξίων. Καλύκη, καὶ Κρίτυλλα κύρια ὀνόματα. Ὑστερόπους] οὕτως λέγεται ὁ ὑστέρῳ ποδὶ ἐρχόμενος, ἤγουν ὁ ὑστερῶν, καὶ ὀψιαίτερα βαδίζων. ὑδρείαν δὲ, τὸ ὑδροφόρον ἄγγος. Κνεφαῖα.] εἰ καλῶς γράφεται προπερισπωμένως, ἐπιρρηματικῶς ληπτέον ἀντὶ τοῦ κνεφαίως. ἀλλὰ βέλτιον ἴσως κνεφαία, ὡς δικαία, κεφαλαία, καὶ πολλὰ τοιουτότροπα κατὰ τοὺς τῶν γραμματικῶν κανόνας. κνεφαῖος δὲ σκοτεινὸς, ἀόρατος. νῦν δὲ ὄρθριος, ἑωθινὸς, παρὰ τὸ κνέφας, κνέφατος, ὃ δηλοῖ τὸ σκότον, ἢ τὴν νύκτα. λέγεται καὶ κνέφας τὸ καλούμενον λυκόφως. καὶ κνεφαῖος ἦλθεν, ἀντὶ τοῦ ὑπὸ σκότου, ἢ ὄρθριος, ἑωθινός. Σ. ἄλλως. κνέφας, ἡ βαθεῖα ἑσπέρα. ἡ γενικὴ κνέφους, ὡς ἀπὸ τοῦ κνέφος εὐθείας. λέγεται δὲ παρὰ τὸ κενὸν φάους εἶναι. Εὐσ. Δούλησιν ὠστιζομένη.] ἀντὶ τοῦ ταῖς δούλαις, εἴτε σὺν ταῖς δούλαις στενοχωρουμένη. τί δὲ τὸ ὠστίζειν, καὶ ὠστίζεσθαι, παρὰ τὸ ὠθεῖν λεγόμενον, καὶ ἐν τοῖς ἄνω προείρηται. στιγματίας δὲ καλεῖ τοὺς δούλους στιζομένους, οὓς καὶ στίγωνας καλοῦσιν, ὥσπερ τοὺς μαστιγουμένους, μαστιγίας. στίγματα δὲ, πληγαὶ, τραύματα, ἢ ποικίλματα. Σ. καὶ Πολυδεύκης.

CHR. Τὴν οἰκίαν κνεφαῖα.] Lege ὑδρείαν vt in Veneta editione, Mox ὠστιζομένη est στενοχωρουμένη.